# Η ΕΠΙΜΝΗΜΟΣΥΝΟΣ ΔΕΗΣΙΣ

## ΥΠΕΡ ΑΝΑΠΑΥΣΕΩΣ
## ΠΑΝΤΩΝ ΤΩΝ ΕΚ ΤΗΣ ΛΟΙΜΙΚΗΣ ΝΟΣΟΥ
## ΚΕΚΟΙΜΗΜΕΝΩΝ ΑΔΕΛΦΩΝ ΗΜΩΝ

Τελεσθησομένη μετὰ τὸ πέρας
τῆς Θείας Λειτουργίας
τῆς Κυριακῆς 17 Μαΐου 2020

Μετά τό «Εἴη τό ὄνομα Κυρίου...» θά ψαλῇ ἡ ὡς κάτωθι Δέησις:

Ὁ Ἱερεύς:

Ἦχος Δ΄

Μετὰ πνευμάτων δικαίων, τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτάς, εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοὶ φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς ᾅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν καὶ ἀεί,
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀφράστως κυήσασα, πρέσβευε ὑπὲρ τοῦ σωθῆναι τὰς ψυχὰς τῶν δούλων σου.

Ὁ Ἱερεύς:

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου· δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Λαός:

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς:

Ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων τοῦ Θεοῦ, πάντων τῶν ὑπὸ τῆς ἐνσκηψάσης λοιμικῆς πανδημίας τελειωθέντων ἀδελφῶν ἡμῶν, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ὁ Λαός:

Κύριε, ἐλέησον (τρίς).

Ὁ Ἱερεύς:

Ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὰς ψυχὰς αὐτῶν ἔνθα οἱ δίκαιοι ἀναπαύονται· τὰ ἐλέη τοῦ Θεοῦ, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ἄφεσιν τῶν αὐτῶν ἁμαρτιῶν παρὰ Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καὶ Θεῷ ἡμῶν αἰτησώμεθα.

Ὁ Ἱερεύς:

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Λαός:

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς:

Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, ὁ τὸν θάνατον καταπατήσας, τὸν δὲ διάβολον καταργήσας, καὶ ζωὴν τῷ κόσμῳ σου δωρησάμενος, αὐτός, Κύριε, ἀνάπαυσον τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου, πάντων τῶν ὑπὸ τῆς ἐνσκηψάσης λοιμικῆς πανδημίας τελειωθέντων ἀδελφῶν ἡμῶν, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός. Πᾶν ἁμάρτημα τὸ παρ' αὐτῶν πραχθὲν ἐν λόγῳ ἢ ἔργῳ ἢ διανοίᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, συγχώρησον· ὅτι οὐκ ἔστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐχ ἁμαρτήσει· σὺ γὰρ μόνος ἐκτὸς ἁμαρτίας ὑπάρχεις· ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια.

Τοῦ Κυρίου δεηθῶμεν

Ὁ Λαός:

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς:

Ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωή, καὶ ἡ ἀνάπαυσις τῶν κεκοιμημένων δούλων σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Λαός:

Ἀμήν.

Ὁ Ἱερεύς:

Αἰωνία σας ἡ μνήμη,
ἀξιομακάριστοι καὶ ἀείμνηστοι
ἀδελφοὶ ἡμῶν.

Ὁ Λαός:

Αἰωνία ἡ μνήμη·
αἰωνία ἡ μνήμη·
αἰωνία αὐτῶν ἡ μνήμη.

Ὁ Ἱερεύς ποιεῖ τὴν Ἀπόλυσιν
τῆς Θείας Λειτουργίας.